γὰρ δὴ πρότερον οἱ Μιλήσιοι τοῖσι Χίοισι τὸν πρὸς Ἐρυ-
19 θραίους πόλεμον συνδιήνεικαν. τῷ δὲ δυωδεκάτῳ ἔτεϊ
ληίου ἐμπιπραμένου ὑπὸ τῆς στρατιῆς συνηνείχθη τι τοιόνδε
γενέσθαι πρῆγμα· ὡς ἄφθη τάχιστα τὸ λήιον, ἀνέμῳ βιώ-
μενον ἅψατο νηοῦ Ἀθηναίης ἐπίκλησιν Ἀσσησίης, ἀφθεὶς
2 δὲ ὁ νηὸς κατεκαύθη. καὶ τὸ παραυτίκα μὲν λόγος οὐδεὶς
ἐγένετο, μετὰ δὲ τῆς στρατιῆς ἀπικομένης ἐς Σάρδις ἐνόσησε
ὁ Ἀλυάττης. μακροτέρης δέ οἱ γινομένης τῆς νούσου πέμπει
ἐς Δελφοὺς θεοπρόπους, εἴτε δὴ συμβουλεύσαντός τευ, εἴτε
καὶ αὐτῷ ἔδοξε πέμψαντα τὸν θεὸν ἐπειρέσθαι περὶ τῆς νούσου.
3 τοῖσι δὲ ἡ Πυθίη ἀπικομένοισι ἐς Δελφοὺς οὐκ ἔφη χρήσειν,
πρὶν ἢ τὸν νηὸν τῆς Ἀθηναίης ἀνορθώσωσι, τὸν ἐνέπρησαν
20 χώρης τῆς Μιλησίης ἐν Ἀσσησῷ. Δελφῶν οἶδα ἐγὼ οὕτω
ἀκούσας γενέσθαι· Μιλήσιοι δὲ τάδε προστιθεῖσι τούτοισι,
Περίανδρον τὸν Κυψέλου ἐόντα Θρασυβούλῳ τῷ τότε Μιλή-
του τυραννεύοντι ξεῖνον ἐς τὰ μάλιστα, πυθόμενον τὸ χρη-
στήριον τὸ τῷ Ἀλυάττῃ γενόμενον, πέμψαντα ἄγγελον
κατειπεῖν, ὅκως ἄν τι προειδὼς πρὸς τὸ παρεὸν βουλεύηται.
21 Μιλήσιοι μέν νυν οὕτω λέγουσι γενέσθαι. Ἀλυάττης δέ, ὥς
οἱ ταῦτα ἐξαγγέλθη, αὐτίκα ἔπεμπε κήρυκα ἐς Μίλητον βουλό-
μενος σπονδὰς ποιήσασθαι Θρασυβούλῳ τε καὶ Μιλησίοισι
χρόνον ὅσον ἂν τὸν νηὸν οἰκοδομῇ. ὁ μὲν δὴ ἀπόστολος ἐς
τὴν Μίλητον ἤιε, Θρασύβουλος δὲ σαφέως προπεπυσμένος
πάντα λόγον καὶ εἰδὼς τὰ Ἀλυάττης μέλλοι ποιήσειν,
2 μηχανᾶται τοιάδε· ὅσος ἦν ἐν τῷ ἄστεϊ σῖτος καὶ ἑωυτοῦ
καὶ ἰδιωτικός, τοῦτον πάντα συγκομίσας ἐς τὴν ἀγορὴν
προεῖπε Μιλησίοισι, ἐπεὰν αὐτὸς σημήνῃ, τότε πίνειν τε

1 ὁ R 2 συνδιήνειμαν S V 3 συνηνέχθη C: συνήχθη S: συνείχθη V 5 Ἀσίης $C^1$: Ἀσσίης D ἀφεὶς $C^1$ 6 νεὼς C λόγος μὲν $P^1$ 8 γενομένης d b νόσου C P R 10 πέμψαντι d b [C] νόσου C P R V 12 ἀνορθώσουσι d b 13 τῆς τῆς R S V Μιλησσίης D 15 τὸν τοῦ S $V^1$ Κυψέλλου S V b 18 ἀπειπεῖν C παρὸν d b βούληται $S^1$ V 20 ἐξηγγέλθη d b κήρυκας d b βουλόμενον S V 23 ἤιε Valckenaer: ἦν L προπεπευμ. $R^1$: προπεπευσμ. D $R^2$ S V 24 μέλοι R: μέλλει P b 25 τοιόνδε d b ἄστυ V 26 ἅπαντα συναγαγὼν d b



πάντας καὶ κώμῳ χρᾶσθαι ἐς ἀλλήλους. ταῦτα δὲ ἐποίεέ 22
τε καὶ προηγόρευε Θρασύβουλος τῶνδε εἵνεκεν, ὅκως ἂν δὴ ὁ
κῆρυξ ὁ Σαρδιηνὸς ἰδών τε σωρὸν μέγαν σίτου κεχυμένον καὶ
τοὺς ἀνθρώπους ἐν εὐπαθείῃσι ἐόντας ἀγγείλῃ Ἀλυάττῃ. τὰ 2
δὴ καὶ ἐγένετο· ὡς γὰρ δὴ ἰδών τε ἐκεῖνα ὁ κῆρυξ καὶ εἴπας
πρὸς Θρασύβουλον τοῦ Λυδοῦ τὰς ἐντολὰς ἀπῆλθε ἐς τὰς
Σάρδις, ὡς ἐγὼ πυνθάνομαι, δι' οὐδὲν ἄλλο ἐγένετο ἡ
διαλλαγή. ἐλπίζων γὰρ ὁ Ἀλυάττης σιτοδείην τε εἶναι 3
ἰσχυρὴν ἐν τῇ Μιλήτῳ καὶ τὸν λεὼν τετρῦσθαι ἐς τὸ ἔσχατον
κακοῦ, ἤκουε τοῦ κήρυκος νοστήσαντος ἐκ τῆς Μιλήτου τοὺς
ἐναντίους λόγους, ἢ ὡς αὐτὸς κατεδόκεε. μετὰ δὲ ἥ τε 4
διαλλαγή σφι ἐγένετο ἐπ' ᾧ τε ξείνους ἀλλήλοισι εἶναι καὶ
συμμάχους, καὶ δύο τε ἀντὶ ἑνὸς νηοὺς τῇ Ἀθηναίῃ οἰκοδό-
μησε ὁ Ἀλυάττης ἐν τῇ Ἀσσησῷ, αὐτός τε ἐκ τῆς νούσου
ἀνέστη. κατὰ μὲν τὸν πρὸς Μιλησίους τε καὶ Θρασύβουλον
πόλεμον Ἀλυάττῃ ὧδε ἔσχε.
Περίανδρος δὲ ἦν Κυψέλου παῖς, οὗτος ὁ τῷ Θρασυ- 23
βούλῳ τὸ χρηστήριον μηνύσας. ἐτυράννευε δὲ ὁ Περίανδρος
Κορίνθου· τῷ δὴ λέγουσι Κορίνθιοι (ὁμολογέουσι δέ σφι
Λέσβιοι) ἐν τῷ βίῳ θῶμα μέγιστον παραστῆναι, Ἀρίονα τὸν
Μηθυμναῖον ἐπὶ δελφῖνος ἐξενειχθέντα ἐπὶ Ταίναρον, ἐόντα
κιθαρῳδὸν τῶν τότε ἐόντων οὐδενὸς δεύτερον, καὶ διθύραμβον
πρῶτον ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν ποιήσαντά τε καὶ ὀνομά-
σαντα καὶ διδάξαντα ἐν Κορίνθῳ. τοῦτον τὸν Ἀρίονα λέγουσι, 24
τὸν πολλὸν τοῦ χρόνου διατρίβοντα παρὰ Περιάνδρῳ, ἐπι-
θυμῆσαι πλῶσαι ἐς Ἰταλίην τε καὶ Σικελίην, ἐργασάμενον
δὲ χρήματα μεγάλα θελῆσαι ὀπίσω ἐς Κόρινθον ἀπικέσθαι.

1 χρέεσθαι C P: χρῆσθαι rell. ἐποίε $R^1$ $V^1$ 2 προηγ. b: προαγ. A C P R: προσαγ. S V: προσηγ. D εἵνεκα d b δὲ C 3 Σαρδήϊος D R $V^c$ b: Σαρδύιος S $V^1$ τε om. D 5 ἐκεῖνα + D εἰπὼν S $R^2$ b: εἴασ πὼν V 6 τοῦ] τὸν R V ὑπῆλθε(ν) D S V b 7 ὡς δὲ ἐγὼ D 8 σιτοδ + ίην D: σιτοδηίην R S V 9 τῇ supra v. $D^1$ λεὼ R V τετρῆσθαι R S V 11 ἐδόκεε C P 13 συμμ. P: ξυμμ. rell. ὠ(ι)κοδ. A $P^c$ d b 14 νόσου C R V 16 Ἀλυάττης d 19 τὸ D 20 θῶμα $P^1$: τῶμα C: θωυμα rell. Ἀρίωνα $D^1$ (it. bis infra) 21 Μιθ. A $D^1$ (?) ἐξενεχθέντα A S V 25 τὸν] τὸ $P^1$ (?) b σὺν παρὰ V: σὺν S 27 δὲ om. D

2 ὁρμᾶσθαι μέν νυν ἐκ Τάραντος, πιστεύοντα δὲ οὐδαμοῖσι
μᾶλλον ἢ Κορινθίοισι μισθώσασθαι πλοῖον ἀνδρῶν Κορινθίων·
τοὺς δὲ ἐν τῷ πελάγεϊ ἐπιβουλεύειν τὸν Ἀρίονα ἐκβαλόντας
ἔχειν τὰ χρήματα· τὸν δὲ συνέντα τοῦτο λίσσεσθαι, χρήματα
3 μέν σφι προϊέντα, ψυχὴν δὲ παραιτεόμενον. οὐκ ὦν δὴ
πείθειν αὐτὸν τούτοισι, ἀλλὰ κελεύειν τοὺς πορθμέας ἢ αὐτὸν
διαχρᾶσθαί μιν, ὡς ἂν ταφῆς ἐν γῇ τύχῃ, ἢ ἐκπηδᾶν ἐς τὴν
4 θάλασσαν τὴν ταχίστην. ἀπειληθέντα δὲ τὸν Ἀρίονα ἐς
ἀπορίην παραιτήσασθαι, ἐπειδή σφι οὕτω δοκέοι, περιιδεῖν
αὐτὸν ἐν τῇ σκευῇ πάσῃ στάντα ἐν τοῖσι ἑδωλίοισι ἀεῖσαι·
5 ἀείσας δὲ ὑπεδέκετο ἑωυτὸν κατεργάσεσθαι. καὶ τοῖσι
ἐσελθεῖν γὰρ ἡδονὴν εἰ μέλλοιεν ἀκούσεσθαι τοῦ ἀρίστου
ἀνθρώπων ἀοιδοῦ, ἀναχωρῆσαι ἐκ τῆς πρύμνης ἐς μέσην
νέα. τὸν δὲ ἐνδύντα τε πᾶσαν τὴν σκευὴν καὶ λαβόντα τὴν
κιθάρην, στάντα ἐν τοῖσι ἑδωλίοισι διεξελθεῖν νόμον τὸν
ὄρθιον, τελευτῶντος δὲ τοῦ νόμου ῥῖψαί μιν ἐς τὴν θάλασσαν
6 ἑωυτὸν ὡς εἶχε σὺν τῇ σκευῇ πάσῃ. καὶ τοὺς μὲν ἀποπλέειν
ἐς Κόρινθον, τὸν δὲ δελφῖνα λέγουσι ὑπολαβόντα ἐξενεῖκαι
ἐπὶ Ταίναρον. ἀποβάντα δὲ αὐτὸν χωρέειν ἐς Κόρινθον σὺν
τῇ σκευῇ καὶ ἀπικόμενον ἀπηγέεσθαι πᾶν τὸ γεγονός.
7 Περίανδρον δὲ ὑπὸ ἀπιστίης Ἀρίονα μὲν ἐν φυλακῇ ἔχειν
οὐδαμῇ μετιέντα, ἀνακῶς δὲ ἔχειν τῶν πορθμέων· ὡς δὲ ἄρα
παρεῖναι αὐτούς, κληθέντας ἱστορέεσθαι εἴ τι λέγοιεν περὶ
Ἀρίονος. φαμένων δὲ ἐκείνων ὡς εἴη τε σῶς περὶ Ἰταλίην
καί μιν εὖ πρήσσοντα λίποιεν ἐν Τάραντι, ἐπιφανῆναί σφι
τὸν Ἀρίονα ὥσπερ ἔχων ἐξεπήδησε· καὶ τοὺς ἐκπλαγέντας οὐκ
8 ἔχειν ἔτι ἐλεγχομένους ἀρνέεσθαι. ταῦτα μέν νυν Κορίνθιοί
τε καὶ Λέσβιοι λέγουσι, καὶ Ἀρίονος ἔστι ἀνάθημα χάλκεον
οὐ μέγα ἐπὶ Ταινάρῳ, ἐπὶ δελφῖνος ἐπεὼν ἄνθρωπος.

5 *προϊέντα σφιν* d b 7 *ταφεὶς* d *τῇ* $D^1$ *ἢ* om. $D^1$ 10 *εδώλοισι* A C D $P^1$ 11 *κατεργάσεσθαι* $P^c$ : *-σασθαι* L 13 *πρήμνης* R 15 *εδώλοισι* A C $P^1$ 16 *ὄρθριον* R S V b *τελευτῶντα* Richards 17 *τῇ* supra v. $D^1$ 18 *ἐς τὴν* (add. $D^1$) K. d b 19 *ἐπὶ*] *ἐς* d b 23 *λέγειεν* R 25 *πρήσοντα* R : *πρήσαντα* S V 29 *οὐ* om. C P R S V *ἐπε + ὼν* V : *ἱππεύων* Naber



Ἀλυάττης δὲ ὁ Λυδὸς τὸν πρὸς Μιλησίους πόλεμον 25
διενείκας μετέπειτα τελευτᾷ, βασιλεύσας ἔτεα ἑπτὰ καὶ
πεντήκοντα. ἀνέθηκε δὲ ἐκφυγὼν τὴν νοῦσον δεύτερος 2
οὗτος τῆς οἰκίης ταύτης ἐς Δελφοὺς κρητῆρά τε ἀργύρεον
μέγαν καὶ ὑποκρητηρίδιον σιδήρεον κολλητόν, θέης ἄξιον
διὰ πάντων τῶν ἐν Δελφοῖσι ἀναθημάτων, Γλαύκου τοῦ
Χίου ποίημα, ὃς μοῦνος δὴ πάντων ἀνθρώπων σιδήρου κόλ-
λησιν ἐξεῦρε.

Τελευτήσαντος δὲ Ἀλυάττεω ἐξεδέξατο τὴν βασιληίην 26
Κροῖσος ὁ Ἀλυάττεω, ἐτέων ἐὼν ἡλικίην πέντε καὶ τριή-
κοντα, ὃς δὴ Ἑλλήνων πρώτοισι ἐπεθήκατο Ἐφεσίοισι.
ἔνθα δὴ οἱ Ἐφέσιοι πολιορκεόμενοι ὑπ' αὐτοῦ ἀνέθεσαν τὴν 2
πόλιν τῇ Ἀρτέμιδι, ἐξάψαντες ἐκ τοῦ νηοῦ σχοινίον ἐς τὸ
τεῖχος. ἔστι δὲ μεταξὺ τῆς τε παλαιῆς πόλιος, ἣ τότε
ἐπολιορκέετο, καὶ τοῦ νηοῦ ἑπτὰ στάδιοι. πρώτοισι μὲν δὴ 3
τούτοισι ἐπεχείρησε ὁ Κροῖσος, μετὰ δὲ ἐν μέρεϊ ἑκάστοισι
Ἰώνων τε καὶ Αἰολέων, ἄλλοισι ἄλλας αἰτίας ἐπιφέρων,
τῶν μὲν ἐδύνατο μέζονας παρευρίσκειν, μέζονα ἐπαιτιώ-
μενος, τοῖσι δὲ αὐτῶν καὶ φαῦλα ἐπιφέρων. ὡς δὲ ἄρα οἱ 27
ἐν τῇ Ἀσίῃ Ἕλληνες κατεστράφατο ἐς φόρου ἀπαγωγήν,
τὸ ἐνθεῦτεν ἐπενόεε νέας ποιησάμενος ἐπιχειρέειν τοῖσι
νησιώτῃσι. ἐόντων δέ οἱ πάντων ἑτοίμων ἐς τὴν ναυπη- 2
γίην, οἱ μὲν Βίαντα λέγουσι τὸν Πριηνέα ἀπικόμενον ἐς
Σάρδις, οἱ δὲ Πιττακὸν τὸν Μυτιληναῖον, εἰρομένου Κροί-
σου εἴ τι εἴη νεώτερον περὶ τὴν Ἑλλάδα, εἰπόντα τάδε
καταπαῦσαι τὴν ναυπηγίην· Ὦ βασιλεῦ, νησιῶται ἵππον 3
συνωνέονται μυρίην, ἐς Σάρδις τε καὶ ἐπὶ σὲ ἐν νόῳ ἔχοντες
στρατεύεσθαι. Κροῖσον δὲ ἐλπίσαντα λέγειν ἐκεῖνον ἀλη-
θέα εἰπεῖν· Αἲ γὰρ τοῦτο θεοὶ ποιήσειαν ἐπὶ νόον νησιώτῃσι,

3 *ἀνέθηκε . . . ἐξεῦρε* (8) add. $D^2$ 4 *οἰκείας* $D^2$ 9 *ἐξεδέξατο . . .* Ἀλυάττεω om. R 10 *ὢν* d b *τριάκ.* D R 12 *-ορκούμενοι* A : *-ορκεύμενοι* P : *-ερκεύμενοι* C $P^c$ 14 *παλαιᾶς* d 15 *-ερκέετο* $P^c$ 19 *φλαῦρα* Schaefer 21 *ἐντεῦθεν* R V 22 *νησιώτοισι* D 24 Μυτιλ. A D : Μιτυλ. rell. (Μητ. $R^1$) 26 *ναυπιγίην* D 27 *ἐν ὦ* R : *ἐν νῷ(ι)* rell. 28 Κρεῖσον V : Κρεῖσσον R